ἀλλὰ τίς καὶ οἷον τίνα δεῖ τὸν Γοργίαν καλεῖν· ὥσπερ οὖν ἔμπροσθεν συντόμως ἀπεκρίνου τῷ Χαιρεφῶντι, ὅτι ἀπὸ τῆς ἰατρικῆς ἰατρὸς καλεῖται ὁ Ἡρόδικος καὶ ἀπὸ τῆς ζῳγραφικῆς ὁ ζῳγράφος, οὕτως καὶ νῦν εἰπέ, τίς ἡ τέχνη Γοργίου.

9 p. 449a. τῆς ῥητορικῆς, ὦ Σώκρατες.

ὁ Γοργίας καλῶς ἀπεκρίθη· εἶπεν γάρ, ὅτι τῆς ῥητορικῆς ἐπιστήμων εἰμί· ῥήτορα τοίνυν, ἔφη ὁ Σωκράτης, χρή σε καλεῖν· ὁ Γοργίας λέγει, ὅτι ναί· καὶ ἀγαθὸν ῥήτορα· ἀγαθὸς γὰρ εὔχομαι εἶναι, ὡς Ὅμηρος λέγει· ἰστέον τοίνυν, ὅτι δύο εἰσὶν ῥητορικαί· τούτων δὲ καὶ τὰ γένη καὶ τὰ τέλη καὶ αἱ ὁδοὶ διάφοροι· τῆς μὲν γὰρ ἀληθοῦς γένος ἡ τέχνη, τῆς δὲ ψευδοῦς ἡ ἐμπειρία· πάλιν τῆς μὲν ἀληθοῦς τέλος τὸ ἀγαθόν· τῆς δὲ ἄλλης τὸ πεῖσαι εἴτε κακόν ἐστιν εἴτε οὔ· καὶ πάλιν τῆς μὲν ἀληθοῦς ὁδὸς τὸ εἰδέναι τὰς δυνάμεις τῆς ψυχῆς, τῆς δὲ ἄλλης οὔ· καὶ τῆς μὲν ἀληθοῦς ὁδὸς ἡ διδασκαλικὴ πίστις, τῆς δὲ ἄλλης ἡ πιστευτική· θέλει γὰρ καὶ ὁ γεωμέτρης πεῖσαι ἀλλὰ ἀποδεικτικῶς καὶ οὐ πιστευτικῶς ὡς ὁ ῥήτωρ· ὥσπερ οὖν ἡ ἰατρικὴ ὑγίειαν ἐπαγγέλλεται δι' ἄλλων μέντοι καὶ ἄλλων βοηθημάτων, οὕτως καὶ αἱ ῥητορικαὶ δι' ἄλλων καὶ ἄλλων ὁδῶν βαδίζουσι. δεῖ τοίνυν εἰδέναι, ὅτι ὥσπερ ξίφος αὐτὸ καθ' αὑτὸ οὐκ ἐστὶν οὔτε καλὸν οὔτε κακόν, πρὸς δὲ τὸν χρώμενον ἢ καλόν ἐστιν ἢ κακόν, οὕτως καὶ ἡ ῥητορικὴ αὐτὴ μὲν καθ' αὑτὴν οὐκ ἔστιν καλή, πρὸς δὲ τὸν χρώμενον γίνεται ἀγαθή. εἰδὼς οὖν τοῦτο ὁ Γοργίας λέγει ὅτι ἀγαθός εἰμι ῥήτωρ ἀντὶ τοῦ ἐγὼ ὡς δεῖ κέχρημαι αὐτῇ.

10 p. 449b. οὐκοῦν καὶ ἄλλους σε φῶμεν.

οὐκοῦν φησὶν ὁ Σωκράτης καὶ ἄλλους τοιούτους δύνασαι ποιῆσαι, τοῦτο δὲ προκατασκευάζει ὡς μέλλων χρήζειν αὐτοῦ

**10** mg.

| ῥητορικαί | γένος | τέλος | ὁδός | |
|---|---|---|---|---|
| ἀληθής | τέχνη | ἀγαθόν | γνῶσις τῶν ψυχικῶν δυνάμεων | διδασκαλικὴ πίστις |
| ψευδής | ἐμπειρία | τἀναντία πεῖσαι | ἄγνοια τούτων | πιστευτική |

7 τοίνυν **M** ἄρα Plat. codd.